εἰς τριηραρχίαν ἐνέβαλλον, ὅπως ἂν ὁ βίος αὐτοῦ ἀναλίσκοιτο. εἰ δέ τινι ὑπερβαλλόντως ἀπεχθάνοντο, παλαιὰς ναῦς αὐτῷ ἐδίδοσαν, ὅπως ἂν οἴκοθεν καινὰς ἀντ' αὐτῶν κατασκευάσῃ, καὶ πάντῃ ἄποροι ἐγίνοντο. οὐκ ἐφέξεις δὲ ἀντὶ τοῦ οὐ παύσῃ. διαμηχανήσομαι δὲ διαπράξομαι. Ἀνὴρ παφλάζει.] ἐπειδὴ ἑώρα τὸν Κλέωνα κεκραγότα καὶ παφλάζοντα τῷ λόγῳ. τῇ μεταφορᾷ ἐχρήσατο τοῦ χαλκείου ἐν τῷ πυρὶ κειμένου. ἐπειδὰν γὰρ ἴδωμεν τοῦτο ὑπερζέον, τῶν ὑποκειμένων ξύλων ὑφαιροῦμεν καὶ τοῦ ὕδατος, ἵνα μὴ ὑπερχυθέντος τοῦ ὕδατος τὸ πῦρ σβεσθῇ. χαριέντως δὲ ὡς μαγείρῳ. ἄλλως. ἐντεῦθεν μετὰ τὸ θ κῶλον, διακέκειται

A τοῖς προσώποις. εἰσὶ δὲ ἴσα ὅλα. καὶ ὅμοιον ποιεῖ τὸ ὅλον περιοδικόν. τὸ δὲ τελευταῖον ἑτέραν ἔχει διαίρεσιν, τὸ εἰς τρίμετρον καταληκτικόν. ἄλλως. βράσσει καὶ ταράττεται. πεποίηται παρὰ τὸ παφλά. τὸ δὲ ἑξῆς ἀνὴρ παφλάζει ὑπερζέων. Τῶν ξύλων.] ἐν τοῖς πλείοσι τῶν δᾴδων. ἔδει δὲ εἰπεῖν τῶν κρεῶν. ἔστι γὰρ ἀπὸ μεταφορᾶς τῶν ἑψόντων. οἱ τινες ὅταν παφλάζῃ, τῶν ὑποκειμένων ξύλων ἀφαιροῦσι καὶ τῶν κρεῶν. Ἀπαρυστέον.] ἀφαιρετέον. τῶν ἀπειλῶν δὲ εἶπεν, ἀντὶ τοῦ εἰπεῖν τοῦ ζέματος. ἐπειδὴ τῶν ὑπερζεόντων ἀπαρύονται, ἵνα μή τι ὑποχέηται. μαγειρικῶς δὲ ταῦτα.
B Ταυτηΐ.] ἴσως κρεάγραν ἔδειξεν ὡς μαγείρῳ.

Ἰπούμενος ταῖς εἰσφοραῖς.
Ἐγὼ γὰρ εἰς τοὺς πλουσίους
Σπεύσω σ' ὅπως ἂν ἐγγραφῇς.
Ἀλ. Ἐγὼ δ' ἀπειλήσω μὲν οὐ-
δέν, εὔχομαι δέ σοι ταδί.
Τὸ μὲν τάγηνον τευθίδων
Ἐφεστάναι σίζον. σὲ δὲ
Γνώμην ἐρεῖν μέλλοντα περὶ
Μιλησίων καὶ κερδανεῖν,
Τάλαντον ἢν κατεργάσῃ,
Σπεύδειν ὅπως τῶν τευθίδων
Ἐμπλήμενος, φθαίης ἔτ' εἰς
Ἐκκλησίαν ἐλθεῖν. ἔπει-
τα πρὶν φαγεῖν, ἀνὴρ μεθή-
κοι, καὶ σὺ τὸ τάλαντον λαβεῖν
Βουλόμενος ἐ-
σθίων ἀποπνιγείης.
Χο. Εὖ νή γε τὸν Δία καὶ τὸν Ἀπόλλω,
Καὶ τὴν Δήμητρα.
Δη. Καί μοι δοκεῖ, καὶ τἄλλα γ' εἶναι καταφανῶς
Ἀγαθὸς πολίτης, οἷος οὐδείς πω χρόνου
Ἀνὴρ γεγένηται τοῖσι πολλοῖς τοῦ βολοῦ.
Σὺ δ' ὦ Παφλαγὼν φάσκων φιλεῖν μ' ἐσκορό-
δισας.
Καὶ νῦν ἀπόδος τὸν δακτύλιον, ὡς οὐκ ἔτι
Ἐμοὶ ταμιεύσεις. Κλ. ἔχε, τοσοῦτον δ' ἴσθ' ὅ-
τι,
Εἰ μή μ' ἐάσεις ἐπιτροπεύειν, ἕτερος αὖ
Ἐμοῦ πανουργότερός τις ἀναφανήσεται.
Δη. Οὐκ ἔσθ' ὅπως ὁ δακτύλιος ἔσθ' οὑτοσὶ
Οὑμός, τὸ γοῦν σημεῖον ἕτερον φαίνεται,
Ἀλλ' ἢ οὐ καθορῶ. Ἀλ. φέρ' ἴδω τί σοι σημεῖον ἦν.

*Oppressus ærumnis malis*
*Nam ego faxo, vt inter diuites*
*Relatus argentum luas.*
*A*G. *Ego nihil tibi comminor:*
*Sed istud imprecor, vt tua*
*Sartago stridat piscibus.*
C *Tu verò, de Milesiis*
*Cùm proferes sententiam*
*Lucri cupidus: talentum vbi*
*Paraueris: antè piscibus*
*Repletus: ad cœtum properes.*
*Sed te, priusquàm vescier*
*Occœperis, vir quispiam*
*Perturbet, & talentum ibi*
D *Tu capere vo-*
*Lens, cibo hoc stranguleris.*
*C*H. *Bellè, per Apollinem, Iouémque*
*Atque almam matrem.*
P O. *Et mihi palam videtur, etiam cætera*
*Bonus esse ciuis: qualis vix vllus fuit*
*Vnquam ex multis, qui digni sunt teruncio.*
*Tu verò Paphlago, dum ais, quòd me diligas,*
*Molestus es mihi allijs, quæ fœdè oles.*
E *Et nunc agè redde mihi annulum. Neque enim amplius*
*Quæsturam in vrbe geres.* C L. *habe: sed hoc scias,*
*Si non sines me rem curare publicam,*
*Alium fore, me longè versutiorem præsidem.*
P O. *Fieri nequit, meus vt sit isthic anulus:*
*Quoniam aliud apparet signum, me nisi oculi*
F *Fallunt.* A G. *sine videam, quod signum sit tibi.*

Σχόλια. Ἰπούμενος.] θλιβόμενος ταῖς συντελείαις τῶν ἀπαιτήσεσι. πολλὰ εἰσφέρειν ἀναγκαζόμενος πιεζόμενος.

B I S E T V S. Ἰπούμενος] Εὐστάθιος. ἶπες, θηρίδια ποιὰ κέρασι, καὶ ξύλοις ἐμφυόμενα. παρὰ τὸ ἴπτειν, τὸ φθείρειν. καὶ ἶπος δι' ἑνὸς π ἡ παγὶς τῶν μυῶν, παρὰ τὸ ἴπτουσιν, ὅ ἐστι βλάπτειν. ἐνταῦθα τοίνυν χαλεπτέον ἰπούμενος, ἤγουν βλαπτόμενος.

Σχόλια. Σπεύσω σε.] σπεύσω εἰς σὲ καὶ σπουδάσω. ἐπειδὴ οἱ στρατηγοί, ἐχθρούς τινας ἔχοντες πένητας, ἐνέγραφον τῷ πρώτῳ τῶν πλουσίων τάγματι. ὅπως μὴ ἀρκοῦντες πρὸς τὰς μεγάλας ζημίας, ἄποροι γένωνται. εὔχομαι δὲ καταρῶμαι. τάγηνον δὲ τήγανον. τευθὶς δὲ εἶδος ἰχθύος εὐτελοῦς. σίζον δὲ ποιὸν ἦχον ἀποτελοῦν. Μιλησίων.] ὡς ἐκεῖθεν δωροδοκοῦντος. μέτοικοι δὲ Ἀθηναίων οἱ Μιλήσιοι. Ἢν κατεργάσῃ.] ἐὰν διαπράξῃς ἅπερ αὐτοῖς ἐπηγγείλω. μεθήκοι δὲ μέτελθοι, καλῶν σε δηλονότι. Εὖ γε νὴ τὸν Δία.] διπλῆ καὶ τοῦ χοροῦ ἐν ἐπεισθέσει. ὧν τὸ πρῶτον ἐκ τροχαϊκῆς βάσεως καὶ ἀναπαιστικῆς. καὶ ἐφθημιμερὲς ἢ ἰωνικόν. ἀπὸ μὲν τριμέτρου καταληκτικόν. ἀτακτότερον δὲ ἔχει τὴν τροχαϊκὴν βάσιν ἐπιπλάσιμον. τὸ δὲ β πενθημιμερὲς κοινὸν δακτυλικὸν καὶ ἀναπαιστικόν, ἐπίτηδες
G διαλελυμένως τὸ πεζὸν λόγον. ἔστι δὲ πολλὰ καὶ παρ' Εὐπόλιδι σεσημειωμένα. Καί μοι δοκεῖ.] κορωνὶς ἑτέρως εἰσιόντων τῶν ὑποκειτῶν. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λ. ὧν τελευταῖος. ἰδοὺ ἰδού. νὴ τὸν Δί' οὐδὲν κωλύει. ἐπὶ τῷ τέλει κορωνίς. Ἀγαθὸς πολίτης] ὁ ἀλλαντοπώλης δηλονότι δοκεῖ μοι φησὶν καλὸς εἶναι πολίτης, τοιοῦτος οὐδεὶς ἄλλος γένοιτο ἂν ἐν παντὶ χρόνῳ. Πολλοῖς τοῦ βολοῦ.]